ὥστε δηλονότι οὐκ εἰσὶ μήκει σύμμετροι· λέγω ὅτι ἡ ΑΒ κα
τ' ἄλλο σημεῖον οὐ διαιρεῖται· εἰ γὰρ δυνατὸν διῃρήσθω
κατὰ τὸ Δ· ὥστε τὴν ΑΓ τῇ ΔΒ μὴ εἶναι τὴν αὐτὴν ἀλ
λὰ μείζονα καθ' ὑπόθεσιν τὴν ΑΓ· δῆλον δὴ ὅτι καὶ τὰ ἀπὸ
τῶν ΑΓ ΓΒ μείζονα τῶν ἀπὸ τῶν ΑΔ ΔΒ ὡς ἐπάνω
ἐδείξαμεν· καὶ τὰς ΑΔ ΔΒ μέσας εἶναι δυνάμει μόνον
συμμέτρους μέσον περιεχούσας· καὶ ἐκκείσθω ῥητὴ
ἡ ΕΖ· καὶ τῷ μὲν ἀπὸ τῆς ΑΒ ἴσον παρὰ τὴν ΕΖ πα
ραβεβλήσθω τὸ ΕΚ· τοῖς δὲ ἀπὸ τῶν ΑΓ ΓΒ ἴσον ἀ
φῃρήσθω τὸ ΕΗ· λοιπὸν ἄρα τὸ ΘΚ ἴσον ἐστὶ τῷ
δὶς ὑπὸ τῶν ΑΓ ΓΒ· πάλιν δὴ τοῖς ἀπὸ τῶν ΑΔ
ΔΒ ἴσον ἀφῃρήσθω τὸ ὑπὸ τῶν ΑΓ ΓΒ· ὅπερ δὴ
τοῖς ἀπὸ τῶν ΑΔ ΔΒ ἔλασσον ἐδείχθη τῶν ἀπὸ
τῶν ΑΓ ΓΒ· καὶ λοιπὸν ἄρα τὸ ΜΚ ἴσον τῷ δὶς ὑπὸ
τῶν ΑΔ ΔΒ· καὶ ἐπεὶ μέσον ἐστὶ τὰ ἀπὸ τῶν ΑΓ ΓΒ. μέ
σον ἄρα τὸ ΕΗ· καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται·
ῥητὴ ἄρα ἐστὶν ἡ ΕΘ καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει·
διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΘΝ ῥητή ἐστι καὶ ἀσύμμετρος τῇ ΕΖ
μήκει· καὶ ἐπεὶ αἱ ΑΓ ΓΒ μέσαι εἰσὶ δυνάμει μόνον σύμ
μετροι. ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΑΓ τῇ ΓΒ μήκει· ὡς δὲ
ἡ ΑΓ πρὸς τὴν ΓΒ. οὕτως τὸ ἀπὸ τῆς ΑΓ πρὸς τὸ ὑπὸ
τῶν ΑΓ ΓΒ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΑΓ τῷ ὑ
πὸ τῶν ΑΓ ΓΒ· ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΓ σύμμετρά ἐστι
τὰ ἀπὸ τῶν ΑΓ ΓΒ· δυνάμει γάρ εἰσι σύμμετροι αἱ ΑΓ
ΓΒ· τῷ δὲ ὑπὸ τῶν ΑΓ ΓΒ. σύμμετρόν ἐστι τὸ δὶς ὑ
πὸ τῶν ΑΓ ΓΒ· καὶ τὰ ἀπὸ τῶν ΑΓ ΓΒ ἄρα σύμμετρά ἐστι

[illegible] ἐδείχθη τῶν ἀπὸ τῶν ΑΓ ΓΒ, ἴσον ἀφῃρήσθω τὸ ΕΛ·

τῷ δὶς ὑπὸ τῶν ΑΓ ΓΒ· ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΑΓ ΓΒ.
ἴσον ἐστὶ τὸ ΕΗ· τῷ δὲ δὶς ὑπὸ τῶν ΑΓ ΓΒ. ἴσον τὸ ΘΚ·
ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΕΗ τῷ ΘΚ· ὥστε καὶ ἡ ΕΘ τῇ ΘΝ
ἀσύμμετρός ἐστι μήκει καί εἰσι ῥηταί· αἱ ΕΘ ΘΝ ἄρα ῥη
ταί εἰσι δυνάμει μόνον σύμμετροι· ἐὰν δὲ δύο ῥηταὶ δυ
νάμει μόνον σύμμετροι συντεθῶσιν. ἡ ὅλη ἄλογός ἐστιν
ἡ καλουμένη ἐκ δύο ὀνομάτων· ἡ ΕΝ ἄρα ἐκ δύο ὀνο
μάτων ἐστὶ διῃρημένη κατὰ τὸ Θ· κατὰ τὰ αὐτὰ δὴ δει
χθήσονται καὶ αἱ ΕΜ ΜΝ ῥηταὶ δυνάμει μόνον σύμμετροι·
καὶ ἔσται ἡ ΕΝ ἐκ δύο ὀνομάτων κατ' ἄλλο καὶ ἄλλο διῃρη
μένη τό τε Θ καὶ τὸ Μ· καὶ οὐκ ἔστιν ἡ ΕΘ τῇ ΜΝ ἡ αὐτή·
ὅτι δὴ ὑπὲρ τὰ ἀπὸ τῶν ΑΓ ΓΒ μείζονά ἐστι τῶν ἀπὸ
τῶν ΑΔ ΔΒ· ἀλλὰ τὰ ἀπὸ τῶν ΑΔ ΔΒ μείζονά ἐστι
τοῦ δὶς ὑπὸ ΑΔ ΔΒ· πολλῷ ἄρα καὶ τὰ ἀπὸ τῶν ΑΓ ΓΒ
τουτέστι τὸ ΕΗ
μεῖζόν ἐστι τοῦ
δὶς ὑπὸ τῶν
ΑΔ ΔΒ τουτέστι
τοῦ ΜΚ· ὥστε
καὶ ἡ ΕΘ τῆς ΜΝ
μείζων ἐστὶν· ἡ
ἄρα ΕΘ τῇ ΜΝ
οὐκ ἔστιν ἡ αὐτή :–

Α Δ Γ Β

Ε Μ Θ Ν

Ζ Λ Η Κ

μβ Ἡ μείζων κατὰ τὸ αὐτὸ μόνον σημεῖον διαιρεῖται· ἔστω ἡ
μείζων ἡ ΑΒ διῃρημένη κατὰ τὸ Γ· ὥ
στε τὰς ΑΓ ΓΒ δυνάμει ἀσυμμέτρους εἶναι ποιούσας —